Αἰγύπτου. [22]ἐποίησαν δὲ ὡσαύτως καὶ οἱ ἐπαοιδοὶ τῶν Αἰγυπτίων 22
ταῖς φαρμακείαις αὐτῶν· καὶ ἐσκληρύνθη ἡ καρδία Φαραω, καὶ
οὐκ εἰσήκουσεν αὐτῶν, καθάπερ εἶπεν κύριος. [23]ἐπιστραφεὶς δὲ 23
Φαραω εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ καὶ οὐκ ἐπέστησεν τὸν νοῦν
αὐτοῦ οὐδὲ ἐπὶ τούτῳ. [24]ὤρυξαν δὲ πάντες οἱ Αἰγύπτιοι κύκλῳ 24
τοῦ ποταμοῦ ὥστε πιεῖν ὕδωρ, καὶ οὐκ ἠδύναντο πιεῖν ὕδωρ ἀπὸ
τοῦ ποταμοῦ. [25]καὶ ἀνεπληρώθησαν ἑπτὰ ἡμέραι μετὰ τὸ πατάξαι 25
κύριον τὸν ποταμόν.

[26]Εἶπεν δὲ κύριος πρὸς Μωυσῆν Εἴσελθε πρὸς Φαραω καὶ ἐρεῖς 26
πρὸς αὐτόν Τάδε λέγει κύριος Ἐξαπόστειλον τὸν λαόν μου, ἵνα
μοι λατρεύσωσιν· [27]εἰ δὲ μὴ βούλει σὺ ἐξαποστεῖλαι, ἰδοὺ ἐγὼ 27
τύπτω πάντα τὰ ὅριά σου τοῖς βατράχοις. [28]καὶ ἐξερεύξεται ὁ πο- 28
ταμὸς βατράχους, καὶ ἀναβάντες εἰσελεύσονται εἰς τοὺς οἴκους σου
καὶ εἰς τὰ ταμίεια τῶν κοιτώνων σου καὶ ἐπὶ τῶν κλινῶν σου καὶ
εἰς τοὺς οἴκους τῶν θεραπόντων σου καὶ τοῦ λαοῦ σου καὶ ἐν
τοῖς φυράμασίν σου καὶ ἐν τοῖς κλιβάνοις σου· [29]καὶ ἐπὶ σὲ καὶ 29
ἐπὶ τοὺς θεράποντάς σου καὶ ἐπὶ τὸν λαόν σου ἀναβήσονται οἱ
βάτραχοι. [1]εἶπεν δὲ κύριος πρὸς Μωυσῆν Εἰπὸν Ααρων τῷ ἀδελ- 8
φῷ σου Ἔκτεινον τῇ χειρὶ τὴν ῥάβδον σου ἐπὶ τοὺς ποταμοὺς
καὶ ἐπὶ τὰς διώρυγας καὶ ἐπὶ τὰ ἕλη καὶ ἀνάγαγε τοὺς βατράχους.
[2]καὶ ἐξέτεινεν Ααρων τὴν χεῖρα ἐπὶ τὰ ὕδατα Αἰγύπτου καὶ ἀνή- 2
γαγεν τοὺς βατράχους· καὶ ἀνεβιβάσθη ὁ βάτραχος καὶ ἐκάλυψεν
τὴν γῆν Αἰγύπτου. [3]ἐποίησαν δὲ ὡσαύτως καὶ οἱ ἐπαοιδοὶ τῶν 3
Αἰγυπτίων ταῖς φαρμακείαις αὐτῶν καὶ ἀνήγαγον τοὺς βατράχους
ἐπὶ γῆν Αἰγύπτου. [4]καὶ ἐκάλεσεν Φαραω Μωυσῆν καὶ Ααρων καὶ 4
εἶπεν Εὔξασθε περὶ ἐμοῦ πρὸς κύριον, καὶ περιελέτω τοὺς βατρά-
χους ἀπ᾽ ἐμοῦ καὶ ἀπὸ τοῦ ἐμοῦ λαοῦ, καὶ ἐξαποστελῶ τὸν λαόν,
καὶ θύσωσιν κυρίῳ. [5]εἶπεν δὲ Μωυσῆς πρὸς Φαραω Τάξαι πρός 5
με, πότε εὔξωμαι περὶ σοῦ καὶ περὶ τῶν θεραπόντων σου καὶ περὶ
τοῦ λαοῦ σου ἀφανίσαι τοὺς βατράχους ἀπὸ σοῦ καὶ ἀπὸ τοῦ
λαοῦ σου καὶ ἐκ τῶν οἰκιῶν ὑμῶν, πλὴν ἐν τῷ ποταμῷ ὑπολει-
φθήσονται. [6]ὁ δὲ εἶπεν Εἰς αὔριον. εἶπεν οὖν Ὡς εἴρηκας· ἵνα 6
εἰδῇς ὅτι οὐκ ἔστιν ἄλλος πλὴν κυρίου· [7]καὶ περιαιρεθήσονται οἱ 7
βάτραχοι ἀπὸ σοῦ καὶ ἐκ τῶν οἰκιῶν ὑμῶν καὶ ἐκ τῶν ἐπαύλεων
καὶ ἀπὸ τῶν θεραπόντων σου καὶ ἀπὸ τοῦ λαοῦ σου, πλὴν ἐν
τῷ ποταμῷ ὑπολειφθήσονται. [8]ἐξῆλθεν δὲ Μωυσῆς καὶ Ααρων 8
ἀπὸ Φαραω· καὶ ἐβόησεν Μωυσῆς πρὸς κύριον περὶ τοῦ ὁρισμοῦ

22 εσκληρυνεν B† || 24 υδωρ $1^0$] + απο του ποταμου B*† || 27 τοις > A || 28 εις $3^0$] επι B† | και ult.] pr. και εν τοις φρεασιν σου A†
8 1 συναγαγε A† || 2 ο] η A† || 3 ταις] pr. εν AB$^c$ | φαρμακ.] επαοιδαις A | γην] pr. πασαν A† || 4 τον λαον] αυτους B† | κυριω] pr. τω B† || 5 περι $3^0$ > A || 6 ιδης B (sed in 18 B ειδης): cf. 11 7 | κυριου] -ιος A